Ἔπειτα καὶ καθ᾽ ἑαυτοὺς βέλτιον καὶ τ᾽ἄλλα διακεισόμεθα·
πρὸς τὰ γὰρ αἴτια τῶν γινομένων ἀφορᾶν εἰθισμένους, ἧττον
μὲν, οἷα εἰκὸς, ἐκπλήξει τὰ φοβερὰ, ἥκιστα δὲ θροήσει τὰ
σπανίως συμβαίνοντα· Διαθήσει τε τὰ λυπηρὰ ἐπιόντα πολ-
λῷ τῶν ἄλλων ἡμᾶς μετριώτερον. Τὰς γὰρ ὑπὸ τῶν παν-
τοίαπῶν ἐπινοιῶν, καὶ μηχανῶν, ἃς ἡ Φυσικὴ ἐπὶ τὸ ἀκρι-
βέστερον ἀεὶ προάγει καὶ τελεώτερον, περιγινομένας ἡμῖν ὠ-
φελείας τε καὶ βοηθείας, ἑκὼν παρίημι· τελευταῖον, δὲ, ἐκ
τοῦ πρακτικοῦ τῆς Φιλοσοφίας μέρους, αὐτὸ τῆς ἀνθρωπίνης
εὐδαιμονίας ἤρτηται τὸ Κεφάλαιον. Δι᾽ αὐτοῦ γὰρ μάλιστα
τελειούμεθα τὰς ψυχὰς, καὶ τὴν κατὰ προαίρεσιν πορίζό-
μεθα εὐεξίαν, παθῶν παντοίων τε καὶ χαλεπωτάτων ἀπαλ-
λαττόμενοι· Ἑαυτούς τε, καὶ τοὺς ἄλλους εἰ τύχοι, ῥυθμίζον-
τες, καὶ οὐδὲν ἄλλο ἢ θνήσκειν μελετῶντες, δι᾽ ἀρετῆς ἐπὶ τὸν
κατὰ Φύσιν ἐπαναγόμεθα βίον, οὗ, τῶν ἐκ τῆς Φιλοσοφίας
ἀγαθῶν, οὐδεὶς ἂν ἔχοι συντελέστερον δεῖξαι, οὐδὲ θειότερον.

ΤΑ

ΤΑ ΠΡΟ

# ΤΗΣ ΛΟΓΙΚΗΣ

## ΕΙΩΘΟΤΑ ΠΡΟΛΕΓΕΣΘΑΙ.

Ἤτοι

## Ἀρχὴ, Φύσις, Κλῆσις, Χρῆσις, Διαίρεσις
τῆς Λογικῆς.

§. α΄.

Ἐπεὶ δὲ δῆλον αὐτόθεν (Προδι. Γ΄. §. α΄. β΄.) ὅτι δὴ
γινώσκειν πεφύκαμεν· Καὶ παντοῖα, καὶ παντοίως.
(Αὐτ. §. δ΄. ε΄. ς΄.) Τὸ δὲ γινώσκειν, οὐδὲν ἀλλ᾽ ἢ κα-
τὰ τὸ γνωστικὸν ἐστὶν ἀνατυποῦσθαι τὰ ὄντα, συμφώνως τε,
καὶ καταλλήλως τοῖς πράγμασι· Τοῦτο δὲ ἦν ἀληθεύειν.
(Αὐτ. §. γ΄.). Τὸ δὲ ἀληθεύειν οὐκ ἀεὶ πρόχειρον, οὐδ᾽
ἐπὶ πᾶσιν ἐφικτὸν (ὡς ἐκ πείρας πάντες εἰδέναι ἔχομεν)·
ἀλλ᾽ ὀρθῶς μὲν, καὶ ᾗ δέον ἐπιβάλλουσιν ἐπιτυγχάνειν συμ-
βαίνει ἐπ᾽ ἐνίων, οὐ γὰρ δὴ πάντων· τοὐναντίον δὲ ἀποτυγ-
χάνειν ἐν πολλοῖς, καὶ σφάλλεσθαι, καὶ τοῦ δοκοῦντος ἀπρὶξ
ἐχομένους τοῦ ὄντος ἐξίστασθαι· ταύτητοι τὴν ἐκ φύσεως ἡμῖν
περιοῦσαν δύναμιν, ᾗ τὰς ἐν σφίσι διευθύνοντες διανοητικὰς ἐ-
νεργείας, καὶ κρίσεις, ἐπιτυχικοὶ γινόμεθα τοῦ ἀληθοῦς, Δύ-
ναμιν Λογικὴν εἰκότως ἀποκαλοῦμεν, καὶ ταύτην ἔμφυτον οὖ-
σαν τοῖς πᾶσιν οἴδαμεν, καθ᾽ ἣν καὶ ΛΟΓΙΚΟΙ οἱ πάντες
ἄνθρωποι εἶναι λεγόμεθα.